1 *νοτερωτερον*] differunt edd. aliis *ω*, aliis *ο* oſtendentibus: prius e Venet. Argent. & Cant. 2. repetii. 2 *προς γενεσιν*] *π. την γ.* Baſil. 3. 3 *ὡς ἀν*] *ὡσαν* Cant. 2. 4 *καταχειν*] *κατασχειν* Baſil. 3. 5 *αεννααων*] *αεναων* Cant. 2. v. ſupra & quæ de ſcriptura vocis diſputat *J. A. Schier ad Pythag. Aur. Carm.* v. 48. p. 71. & in *Ind. I. vocab.* v. *αενναος*. 6 *γενεθλιοις δαιμοσιν*] Forte melius: *δυναμεσιν* maxime cum ſequatur adjectivum ſequioris generis: *αφ' οὐ και* AYTAI *αερωδεις* &c. 7 *ἱερος τε ὁ κοσμος*] Neſcio, quid alieni ſapiat illud *ἱερος*, quod neque cum ſequenti *επεραστος*, neque oppoſitis *σκοτεινος και ηεροειδης*, ſat accurate comparatur. 8 *αερωδεις*] ita vett. *αερωδως* Cant. 1. *αερωδες* Cant. 2. 9 *διατριβουσι*] *συνδιατριβουσι* Cant. 2. quod perinde.

Cap. XIII. Ἀνακείσθω [1] δὴ τὸ προκείμενον ἄντρον ψυχαῖς, καὶ ταῖς [2] μερικωτέραις ἐν δυνάμεσι νύμφαις, αἳ ναμάτων καὶ πηγῶν προεστῶσαι, πηγαῖαί τε καὶ ναΐδες διὰ τοῦτο κέκληνται· τίνα οὖν ἡμῖν διάφορα σύμβολα, τὰ μὲν πρὸς τὰς ψυχὰς ἀναφερόμενα, τὰ δὲ πρὸς τὰς ἐν ὕδασι [3] δυνάμεις· ἵνα κοινὸν ἀμφοτέραις καθιερῶσθαι τὸ ἄντρον ὑπολάβωμεν; σύμβολα δὴ ἔστω ὑδριάδων νυμφῶν, οἱ λίθινοι κρατῆρες [4] καὶ οἱ ἀμφιφορεῖς. Διονύσου μὲν γὰρ σύμβολα ταῦτα, ἀλλ᾽ ὄντα κεράμεα, τοῦτ᾽ ἔστιν, ἐκ γῆς ὠπτημένης· ταῦτα γὰρ φίλα τῇ παρὰ τοῦ θεοῦ δωρεᾷ τῆς ἀμπέλου. ἐπεὶ ἀπὸ πυρὸς οὐρανίου πεπαίνεται ταύτης ὁ καρπός.

Cap. XIIII. Λίθινοι δὲ κρατῆρες καὶ ἀμφιφορεῖς ταῖς προεστώσαις τοῦ ἐκ πετρῶν ἐξιόντος ὕδατος νύμφαις οἰκειότατοι. ψυχαῖς δὲ εἰς γένεσιν κατιούσαις καὶ σωματουργίαν τί ἂν εἴη οἰκειότερον σύμβολον τούτων; διὸ καὶ ἀπετόλμησεν εἰπεῖν ὁ ποιητής· ὅτι ἐν τούτοις φάρε᾽ ὑφαίνουσιν ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι. ἐν ὀστοῖς μὲν γὰρ, καὶ περὶ ὀστᾶ ἡ σαρκοποιΐα· [5] λίθος δὲ ταῦτα ἐν ζώοις, λίθῳ ἐοικότα. [6] διὸ καὶ οἱ ἱστοὶ, οὐκ ἀπ᾽ ἄλλης ὕλης, ἀλλ᾽ ἀπὸ τοῦ λίθου ἐρρήθησαν. τὰ δ᾽ [7] ἁλιπόρφυρα φάρη ἄντικρυς ἡ ἐξ αἱμάτων [8] ἂν ἐξυφαινομένη σάρξ. ἐξ αἵματος μὲν γὰρ [9] ἁλουργῆ ἔρια·

Eſto itaque præſens hoc antrum animabus, nymphiſque inter virtutes ſeu potentias magis particularibus attributum: quæ cum ſcaturiginibus fontibuſque præſint, Pegææ ſive fontanæ, & Naiades eam ob cauſam appellantur. Quænam ergo diverſa ſymbola habemus, quorum alia animabus, alia virtutibus aquarum conveniant: ut commune utriſque antrum conſecratum exiſtimemus? ſymbola ſcilicet Nympharum Hydriadum ſive aquaticarum ſint lapidei crateres, & amphoræ. Nam & Bacchi hæc ſunt ſymbola, ſiquidem fictilia ſint ex terra cocta; hæc enim grata acceptaque ſunt ejus Dei dono, quod vitis profert: cujus fructus cœleſti igne percoquitur.

At crateres lapidei & amphoræ Nymphis emanantium ex petris aquarum præſidibus optime conveniunt. Verum quod ſymbolum rectius quadret animabus in generationem corporumque productionem deſcendentibus, quam textoria? Ideoque Poëta auſus eſt dicere: *Nymphas in hiſce texere purpureas telas, mirabile viſu.* Nam caro in oſſibus & circum oſſa naſcitur: quæ lapidum inſtar ſunt in animalibus, & lapidi comparantur. Idcirco textoria ipſa non alia materia ſed ex ſaxo conſtabant. Et telæ purpureæ omnino erit caro ex ſanguine contexta. Sanguine enim purpu-

VARIÆ LECTIONES.

1 *δη το*] *δε το* Cant. 2. æque bene, illa tamen in fine hujus paginæ, *συμβολα δη*, receptam confirmant. 2 *μερικωτεραις*] dubito de ſanitate vocabuli, necdum tamen medicina conſtat. 3 *δυναμεις· ἱνα*] ſuſpicor aliquid excidiſſe: forſan: *ὡστε ἡμας ὁρμασθαι, ἱνα* &c. 4 *και οἱ αμφιφορεις*] ita Cant. utraque. Rell. *και αμφιφ.* 5 *λιθος δε ταυτα*] ſi quid in his mutandum, dixerim *οστα* legendum eſſe: ΟΣΤΑ *δε ταυτα εν ζωοις λιθῳ εοικοτα.* 6 *διο και οἱ*] *διοτι οἱ* Cant. 2. 7 *ἁλιπορφυρα*] ita opt. etiam Rom. 1. *ἁλυπορφυρα* Baſil. 3. *v. Not. crit. ad l. Homeri* in Apparatu. 8 *αν εξυφαινομενη*] Al. *αν ειη εξυφαινομενη.* 9 *ἁλουργη*] Al. *ἁλουργους.*

καὶ ἐκ ζώων ἐβάφη καὶ τὸ ἔριον. δι' αἵματος δὲ καὶ ἐξ αἱμάτων ἡ σαρκογονία. καὶ χιτών γε τὸ σῶμα τῇ ψυχῇ, ὃ ἠμφίεσται· θαῦμα τῷ ὄντι ἰδέσθαι, εἴτε πρὸς τὴν σύστασιν [1] ἀποβλέπει, εἴτε πρὸς τὴν σύνδεσιν τοῦτο συνάγει τῆς ψυχῆς. οὕτω καὶ παρὰ τῷ Ὀρφεῖ ἡ Κόρη, ἥπερ ἐστὶ παντὸς τοῦ σπειρομένου ἔφορος, ἱστουργοῦσα παραδίδοται. τῶν παλαιῶν καὶ τὸν οὐρανὸν [2] πέπλον εἰρηκότων, οἷον θεῶν οὐρανίων περίβλημα.

Cap. XV. Διατί οὖν οὐχ ὕδατος πλήρεις οἱ ἀμφορεῖς, ἀλλὰ κηρίων; ἐν γὰρ τούτοις φησὶ τιθαιβώσσουσι μέλισσαι. δηλοῖ δὲ τὸ τιθαιβώσσειν, τὸ τιθέναι τὴν βόσιν. βόσις δὲ καὶ τροφὴ τὸ μέλι ταῖς μελίσσαις. κέχρηνται [3] δὴ τῷ μέλιτι οἱ Θεολόγοι πρὸς πολλὰ καὶ διάφορα σύμβολα, διὰ τὸ ἐκ πολλῶν [4] αὐτὸ συνεστάναι δυνάμεων. ἐπεὶ καθαρτικῆς ἐστὶ δυνάμεως, καὶ συντηρητικῆς. τῷ γὰρ μέλιτι ἄσηπτα [5] μένει. καὶ τὰ χρόνια τραύματα ἐκκαθαίρεται μέλιτι· [6] ἔστι δὲ γλυκὺ τῇ [7] γεύσει, καὶ συναγόμενον ἐξ ἀνθῶν ὑπὸ μελισσῶν, [8] ἃς βουγενεῖς εἶναι συμβέβηκεν. ὅταν μὲν οὖν τοῖς τὰ λεοντικὰ μυουμένοις, εἰς τὰς χεῖρας ἀνθ' ὕδατος μέλι νίψασθαι ἐγχέωσι, καθαρὰς ἔχειν τὰς χεῖρας παραγγέλλουσιν ἀπὸ παντὸς λυπηροῦ καὶ βλαπτικοῦ καὶ μυσαροῦ. καὶ ὡς μύστῃ, καθαρτικοῦ [9] ὄντος τοῦ πυρὸς, οἰκεῖα νίπτρα προσάγουσι, παραιτησάμενοι τὸ ὕδωρ ὡς πολεμοῦν τῷ πυρί. καθαίρουσι δὲ καὶ τὴν γλῶσσαν τῷ μέλιτι ἀπὸ παντὸς ἁμαρτωλοῦ.

rea vellera imbuuntur, & animantium ſucco tingitur lana. Atqui ſanguinis beneficio, & ex ſanguine producitur caro. Et corpus animæ veſtis eſt, quo induitur: res ſane viſu miranda, ſive compoſitionem ejus ſpectet, ſive conjunctionem atque vinculum animæ conciliet. Sic & Proſerpina omnium ex ſemente naſcentium præſes, telam texens ab Orpheo inducitur: cum antiqui ipſum quoque cœlum peplum vocarint, veluti Deorum cœleſtium velum ſeu tegumentum.

Sed quid cauſæ, cur amphoræ non aqua, ſed favis repletæ ſint? In his inquit, *apes ſua mella recondunt.* Ipſa enim vox, τιθαιβώσσειν, dicitur quaſi τιθέναι τὴν βόσιν, quod eſt, *ponere paſtum.* Paſtus autem atque alimentum apiculis eſt mel. Cæterum Theologi melle ad multa, eaque diverſa ſymbola uſi ſunt; quia variis ex facultatibus conſtat. Nam & purgandi & conſervandi facultate pollet. Mellis enim beneficio res incorruptæ permanent: & ulcera vetuſta melle expurgantur: idemque guſtu dulce eſt, & ab apiculis ex floribus congeſtum, quæ ex bove naſci ſolent. Idcirco dum iis qui Leonticis ſacris initiantur aquæ loco mel manibus lavandis affundunt, jubent eos manus ab omni malo noxioque ſcelere puras habere: quemadmodum iidem myſtam igne purgandi facultate prædito peculiari ritu luſtrant, aquam ut igni contrariam averſantes. Quin & linguam melle ab omni peccato expurgant.

VARIÆ LECTIONES.

1 αποβλεπει] An αποβλεπεις, vel αποβλεπης? 2 πεπλον] ſic opt. & *Meurſ. ad Lycophr.* Argent. tamen & Baſil. 3. πεπλων. πεπλον] Conſule *Pſalm.* 104. v. 2. & quæ nos ad Il. γ. v. 57. Barnesivs. obſervationem *Barneſii*, quam memorat, adſcribam: (Tom. I. Opp. Homeri p. 115.) „ 57. Λαϊνον εσσο χιτωνα·] *Euſtath.* in locum fol. „ 287. lin. 19. καὶ φῶς ἀμφιβαλέσθαι ἱματίου δικὴν ὁμοιότητα τιν' ἔχει πρὸς τοῦτο τὸ Ὁμηρικόν. Alludit ad *Pſalm.* 104. v. 2." 3 δη] δε Cant. 2. 4 αυτο] omittit Cant. 2. 5 μενει] deeſſe hic aliquid videtur: forte τα χρηματα. 6 εστι] Cant. utraque ετι, quod non melius. 7 γευσει] γεύσῃ Venet. Argent. 8 ἃς] ita pleræque: ſed Cant. 1. αἵ. 9 οντος του πυρος] peſſime Baſil. 3. οντος. Του πυρος.

CAP. XVI. Ὅταν δὲ [1] τῷ Πέρσῃ [2] προσάγωσι μέλι ὡς φύλακι [3] καρπῶν, τὸ φυλακτικὸν ἐν συμβόλῳ τίθενται· ὅθεν τινὲς ἠξίουν τὸ νέκταρ καὶ τὴν ἀμβροσίαν, [4] ἣν κατὰ ῥινῶν στάζει ὁ ποιητὴς, εἰς τὸ μὴ σαπῆναι τοὺς τεθνηκότας, τὸ μέλι ἐκδέχεσθαι· θεῶν τροφῆς ὄντος τοῦ μέλιτος· διὸ καὶ φησί που, νέκταρ ἐρυθρόν· τοιοῦτον γὰρ εἶναι τῇ χροιᾷ τὸ μέλι· ἀλλὰ [5] περὶ μὲν τοῦ νέκταρος εἰ χρὴ ἀκούειν ἐπὶ τοῦ μέλιτος, ἐν ἄλλοις ἀκριβέστερον ἐξετάσομεν· παρὰ δὲ τῷ Ὀρφεῖ ὁ Κρόνος μέλιτι ὑπὸ Διὸς ἐνεδρεύεται, πλησθεὶς γὰρ μέλιτος μεθύει, καὶ σκοτοῦται ὡς ἀπὸ οἴνου, καὶ ὑπνοῖ· ὡς παρὰ Πλάτωνι ὁ Πόρος τοῦ νέκταρος πλησθείς· οὔπω γὰρ οἶνος ἦν. Φησὶ γὰρ παρ' Ὀρφεῖ ἡ Νὺξ τῷ Διῒ, ὑποτιθεμένη τὸν διὰ μέλιτος δόλον·

Εὖτ' ἂν δή μιν ἴδηαι ὑπὸ δρυσὶν ὑψικόμοισιν,
Ἔργοισι μεθύοντα μελισσάων ἐριβόμβων,
[6] Δῆσον αὐτόν. . . . . .

Verum ubi Perſæ (i. e. Mithræ) frugum cuſtodi mel offerunt, facultatem cuſtodiendi ſeu conſervandi in ſymbolo ponunt. Unde etiam nonnullis nectar & ambroſiam, quam poëta mortuorum naribus ad putredinem arcendam inſtillat, pro melle accipere placuit: cum mel Deorum cibus ſit. Ideoque quodam loco vocat *nectar fulvum:* hujusmodi autem color eſt mellis. Sed utrum pro nectare mel intelligendum ſit, alibi accuratius examinabimus. Cæterum apud Orpheum melle Saturno à Jove inſidiæ ſtruuntur. Nam melle repletus inebriatur, & quaſi ex vino caligine offunditur & obdormiſcit; quemadmodum apud Platonem Porus nectare diſtentus: necdum enim vinum erat. Nam Nox apud Orpheum melle ineſcandi dolum Jovi his verbis ſuggerit:

Quamprimum videas, ſtratum ſub quercubus altis,
Roſcido apum [7] *probe madidum dulcique labore,*
Stringe illum vinclis.

VARIÆ LECTIONES.

1 τῃ Περσεφονῃ] γρ. τῷ Πέρσῃ· at Κόρῃ ſupra καρπῶν ἔφορος. BARNESIVS. 1 τῷ Πέρσῃ] Temere & inſcite Barneſius Πέρσῃ mutat in Περσεφόνῃ· Nam Πέρσης eſt *Mithras*, qui cum non diverſus ſit a *ſole*, recte καρπῶν φύλαξ dicitur. Lapis apud Gruter. p. XXVIII. 6. PERSIDICIQVE. MITHRÆ. ANTISTES. BABYLONIE. TEMPLI. ubi corruptelæ ſuſpicionem movere poſſit rarior forma *Perſidicus*. Sed illam tuetur analogia. Nam ut a *Chalcis*, *idis* formatur *Chalcidicus*, ſic a *Perſis*, *idis*, *Perſidicus*. Ibidem, ut hoc obiter obſervem, *antiſtes* dicitur *Babylonius* non a patria, ſed profeſſione, ut in Propert. IV. 1. 79. bene Joſ. Scaliger accepit *Babylonius Horos*. *Perſes* etiam vocatur Mithræ ſacerdos. Vid. Hieronym. Epiſt. LVII. p. 590. & ſacra Mithræ *Perſica*. Vid. Damaſc. apud Suid. v. Ἐπιφάνιος, Gruter. p. CCCIII. 2. MLXXXVII. 4. Reineſ. ad Inſcr. I. 48. inprimis Phil. a Turre de Mithra Cap. 5. DAV. RVHNKENIVS. 2 προσαγωσι] Cant. 2. προαγωσι. 3 καρπων] ita pleræque recte: Baſileenſes tamen binæ 2. & 3. καρπον habent. 4 ἣν] Baſil. 2. ἦν. 5 περι μεν του] ita pleræque Baſil. 3. περι του μεν, quod perinde. 6 Δησον αυτον] Αντικα μιν δησον Cant. 2. ubi: „ γρ. δησον αυτον·] BARNESIVS. 7 *probe*] oblitus interpres videtur quantitatis: potuiſſet eadem opera *pulcre* ſcribere.

Ὃ καὶ πάσχει ὁ Κρόνος· καὶ δεθεὶς ἐκτέμνεται, ὡς ὁ οὐρανός· τοῦ θεολόγου δι' ἡδονῆς δεσμεῖσθαι καὶ κατάγεσθαι τὰ θεῖα εἰς γένεσιν αἰνισσομένου· ἀποσπερματίζειν τε δυνάμεις, εἰς ἡδονὴν ἐκλυθέντα. ὅθεν ἐπιθυμία μὲν συνουσίας τὸν οὐρανὸν κατιόντα εἰς γῆν ἐκτέμνει Κρόνος· ταυτὸν δὲ τῇ ἐκ συνουσίας ἡδονῇ παρίσταται [1] αὐτοῖς ἡ τοῦ μέλιτος· ὑφ' οὗ δολωθεὶς ὁ Κρόνος [2] ἐκτέμνεται. πρῶτος τῶν ἀντιφερομένων τῷ οὐρανῷ ὁ Κρόνος ἐστὶ, καὶ ἡ τούτου σφαῖρα. κάτεισι δὲ δυνάμεις ἐξ οὐρανοῦ καὶ ἀπὸ τῶν πλανωμένων. ἀλλὰ τὰς μὲν ἐξ οὐρανοῦ δέχεται Κρόνος· τὰς δ' ἀπὸ τοῦ Κρόνου, Ζεύς.

Cap. XVII. Λαμβανομένου τοίνυν καὶ ἐπὶ καθαρμοῦ τοῦ μέλιτος, [3] καὶ ἐπὶ φυσικῆς σηπεδόνος, καὶ ἐπὶ ἡδονῆς εἰς γένεσιν καταγωγῆς, οἰκεῖον σύμβολον καὶ νύμφαις ὑδριάσι παρατίθεται, εἰς τὸ ἄσηπτον τῶν ὑδάτων, ὧν ἐπιστατοῦσι, καὶ τὴν κάθαρσιν αὐτῶν, καὶ τὴν εἰς γένεσιν συνεργίαν. συνεργεῖ γὰρ γενέσει τὸ ὕδωρ· διὸ καὶ ἐν τοῖς κρατῆρσι καὶ ἀμφορεῦσι [4] τιθαιβώσσουσι μέλισσαι. τῶν μὲν κρατήρων σύμβολον τῶν [5] πηγῶν φερόντων· καθὼς παρὰ τῷ Μίθρᾳ ὁ κρατὴρ ἀντὶ τῆς πηγῆς τέτακται. τῶν δ' ἀμφορέων, ἐν οἷς τὰ ἀπὸ τῶν πηγῶν ἀρυόμεθα.

Quod et Saturno evenit, qui vinctus caſtratur, ſicuti Cœlum. Quo ipſo poëta innuit, eſſentias divinas dulcedine ineſcatas vinciri atque in generationem deduci; & voluptate reſolutas virtutes quaſdam proſeminare. Unde & Cœlum coëundi deſiderio in terram deſcendentem Saturnus exſecat. Idem vero, quod coëundi voluptas, mellis dulcedo apud eos ſignificat: quo ineſcatus Saturnus caſtratur. Saturnus enim ejusque orbis primus eſt eorum, qui contra cœlum moventur. Deſcendunt autem tam a cœlo, quam a ſtellis errantibus, virtutes quædam. Sed cœli virtutes, Saturnus: Saturni deinde Jupiter excipit.

Cum ergo mel accipiatur & pro purgatione, & pro nativæ putredinis amuleto, & pro voluptate quæ in generationem deducit; proprium quoque ſymbolum Nymphis aquaticis conſtituitur, ob immunem a putredine aquarum naturam, quibus præſunt, atque earundem vim purgatricem, & cooperationem ad generationem. Concurrit enim aqua ad generationem. Atque hanc ob cauſam in crateribus & amphoris mellificant apes: cum crateres fontium ſymbolum gerant. Quemadmodum juxta Mithram crater pro fonte ponitur; amphoræ vero vaſorum, quibus ex fontibus haurimus.

VARIÆ LECTIONES.

1 *αυτοις ἡ του*] ita Cant. utraque: reliquæ ἡ omittunt. 2 *εκτεμνεται*] in Baſill. ut ſæpe, nulla diſtinctionum habita ratio: facile illas ex reliquis edd. & diſputationis forma reſtitui: eodem modo Baſil. 3. mox male *ουρανῳ· ὁ κρονος* ſejungit, quæ jungenda erant. 3 *και επι φυσικης σηπεδονος*] Sana hæc non eſſe, facile adparet: indicant enim: *mel accipi de naturali putredine*, cum voluerit Porphyrius *ſumi mel de remedio putredinis*, ut e tota diſputatione liquet. Holſtenius *amuleti* vocem inſeruit, quaſi legeretur *και επι* ΦΑΡΜΑΚΟΥ ΤΗΣ *φυσ. σηπ.* Equidem lubenter hoc loco acutioribus conjectandi elegantiam committo. 4 *τιθαιβωσσουσι*] Baſil. 3. *τιθαι βωσσουσαι*· compara Not. Crit. ad Homeri locum in apparatu. 5 *πηγων*] Baſil. *πηγας*.

CAP. XVIII. Πηγαὶ δὲ καὶ νάματα οἰκεῖα ταῖς ὑδριάσι νύμφαις. καὶ ἔτιγε μᾶλλον νύμφαις ταῖς ψυχαῖς· ἃς ἰδίως μελίσσας οἱ παλαιοὶ ἐκάλουν, ἡδονῆς οὔσας ἐργαστικάς. ὅθεν καὶ ὁ Σοφοκλῆς οὐκ [1] ἀνοικείως ἐπὶ τῶν ψυχῶν ἔφη·

Βομβεῖ δὲ νεκρῶν σμῆνος· [2] Ερχεται τ' ἄλλη.

Καὶ τὰς Δήμητρος ἱερείας, ὡς τῆς χθονίας θεᾶς μύστιδας, μελίσσας οἱ παλαιοὶ ἐκάλουν. αὐτήν τε τὴν Κόρην μελιτώδη· σελήνην τε οὖσαν γενέσεως προστάτιδα, μέλισσαν ἐκάλουν· ἄλλως τε [3] ἐπεὶ ταῦρον μὲν σελήνη. καὶ ὕψωμα σελήνης ὁ ταῦρος. βουγενεῖς δ' αἱ μέλισσαι· καὶ ψυχαὶ δ' εἰς γένεσιν ἰοῦσαι βουγενεῖς. καὶ βουκλόπος θεὸς ὁ τὴν γένεσιν λεληθότως ἀκούων. πεποίηνται ἤδη τὸ μέλι καὶ θανάτου σύμβολον· διὸ καὶ μέλιτος σπονδὴν τοῖς χθονίοις ἔθυον. τὴν δὲ χολὴν [4] ζωῆς. ἤτοι δι' ἡδονῆς αἰνιττόμενοι ἀποθνήσκειν τὸν ψυχῆς βίον, διὰ δὲ πικρίας ἀναβιώσκεσθαι. ὅθεν καὶ τοῖς θεοῖς χολὴν ἔθυον. ἢ ὅτι ὁ μὲν θάνατος λυσίπονος, ἡ δ' ἐνταῦθα ζωὴ, ἐπίμοχθος καὶ πικρά.

Fontes autem & rivuli Nymphis aquaticis proprii: & præcipue Nymphis: animabus ſcilicet; quas proprie apes antiqui vocabant, dulcedinis operatrices. Unde & Sophocles non incongrue de animabus dixit:

Examen errans mortuorum bombilat:
Aliaque adveniunt. . . . . .

Quin & Cereris ſacerdotes, ut Deæ terrenæ ſacrorum antiſtites, meliſſas ſive apes antiqui appellabant. Ipsamque Proſerpinam mellitam. Lunam quoque generationis præſidem Apem vocabant. Quam & alio nomine Taurum dixerunt. Et exaltatio Lunæ eſt Taurus: Bovigenæ autem apes ſunt. Et animæ in generationem progreſſæ hoc quoque nomine vocantur. Et boum fur deus ille qui clanculum generationem audit. Mortis quoque ſymbolum mel fecerunt. Ideoque libamen mellis Diis terreſtribus ſacrificabant. Fel autem vitæ ſymbolum erat. Sive voluptatis dulcedine animæ vitam emori ſignificarent; per amaritudinem vero eam reviviſcere. Unde & Diis fel ſacrificabant. Sive quod mors miſeriarum finis: vita autem hæc mortalis moleſta & acerba eſt.

VARIÆ LECTIONES.

1 *ανοικειως επι των*] ita pleræque recte, etiam Meurſ. ad Lycophr. v. 293. Baſil. tamen 2. 3. *επι* omittunt. 2 *ερχεται τ' αλλη*] Barneſius reſtituit, metri cauſſa: *αλλη δ' ερχεται*· vero ſimili conjectura. 3 *επει ταυρον*] Ita omnes: *εποχειται ταυρῳ* Cant. 2. ubi ita *εποχειται ταυρῳ*] Ita pro corrupto *ἐπεὶ ταῦρον*, ut mox de *Mithra.* (Cap. XXIIII. p. 22.) *ἐποχεῖται δὲ ταύρῳ Ἀφροδίτης*: Ita poëtæ, *Lyncas* agit *Bromius*, *Pavos* Saturnia *pictos*; Tardos *Luna* boves. Et *Cynthia* nec *bobus* charum *Endymiona* fatigat. BARNESIVS. Mihi ita hic locus videtur comparatus eſſe, ut reſtitutione opus habeat: Barneſii probabilis eſt conjectura; non talis tamen, ut tuto auctori poſſit adfingi. 4 *ζωης*] Ita Rom. 1. & Cantt. binæ. *ζῳοις* tamen in Argent. & Baſileenſibus.

CAP. XIX. Οὐχ' ἁπλῶς μέν τοι πάσας ψυχὰς εἰς γένεσιν ἰούσας μελίσσας ἔλεγον· ἀλλὰ τὰς μελλούσας μετὰ δικαιοσύνης βιοτεύειν, καὶ πάλιν ἀναστρέφειν εἰργασμένας τὰ θεοῖς φίλα. τὸ γὰρ ζῶον φιλόστροφον, καὶ μάλιστα δίκαιον, καὶ νηφαντικόν. ὅθεν καὶ νηφάλιοι σπονδαὶ, αἱ διὰ μέλιτος. καὶ κυάμοις οὐκ ἐφιζάνουσιν· οὓς ἐλάμβανον εἰς σύμβολον τῆς κατ' εὐθεῖαν γενέσεως, καὶ ἀκαμπές· διὰ τὸ μόνον σχεδὸν τῶν σπερματικῶν δι' ὅλου τετρῆσθαι, μὴ ἐγκοπτόμενον ταῖς μεταξὺ τῶν γονάτων [1] ἐμφράξεσι. φέροιεν οὖν τὰ κηρία καὶ αἱ μέλισσαι οἰκεῖα σύμβολα καὶ κοινὰ ὑδριάδων νυμφῶν, καὶ ψυχῶν εἰς γένεσιν νυμφευομένων.

CAP. XX. Σπήλαια τοίνυν καὶ ἄντρα τῶν παλαιοτάτων πρὶν καὶ ναοὺς ἐπινοῆσαι θεοῖς ἀφοσιούντων· καὶ ἐν Κρήτῃ μὲν Κουρήτων, Διΐ· ἐν [2] Ἀρκαδίᾳ δὲ, Σελήνῃ καὶ Πανὶ Λυκείῳ· καὶ ἐν Νάξῳ, Διονύσῳ· πανταχοῦ δ' ὅπου τὸν Μίθραν ἔγνωσαν, διὰ σπηλαίου τὸν θεὸν ἱλεουμένων· τὸ Ἰθακήσιον σπήλαιον οὐκ ἠρκέσθη δίθυρον εἰπὼν Ὅμηρος· ἀλλὰ καὶ τὰς μέν τινας πρὸς βορρᾶν τετράφθαι θύρας, τὰς δὲ πρὸς νότον θεωτέρας. καὶ καταβατάς γε τὰς [3] βορείους· τὰς δὲ πρὸς νότον, οὔτε εἰ καταβαταὶ ἐπεσημήνατο· μόνον δὲ ὅτι,

Nec tamen promiſcue omnes animas in generationem progreſſas apes vocabant: ſed eas quæ ex juſtitiæ præſcripto victuræ, & poſtquam opera Diis grata perpetraſſent rurſum ad Deum erant reverſuræ. Animal enim hoc redire amat, & juſtitiæ obſervantiſſimum eſt, ac ſobrium. Unde & libationes, quæ melle fiunt, νηφάλιοι, ſive ſobriæ vocantur. Nec fabis inſident; quas generationis continuæ rectaque ſerie progredientis ſymbolum ſtatuebant. Quia fabæ ferme ſolæ inter omnia quæ feruntur, ſcapo penitus pertuſo & perforato ſunt, nullis internodiorum obturationibus inciſæ & interceptæ. Favi igitur apesque & propria & communia Hydriadum ſive aquaticarum Nympharum ſymbola erant, atque animarum quæ veluti ſponſæ ad generationem procedunt.

Cum igitur antiquiſſimi, etiam priuſquam templa excogitarentur, ſpecus & antra Diis conſecrarint: & in Creta quidem Curetes Jovi: in Arcadia autem Lunæ & Pani Lyceo: & in Naxo Baccho: ubicunque vero Mithram agnoverunt, eidem Deo in ſpecubus ſacra fecerint: non ſatis erat Homero, Ithacenſi antro gemina oſtia attribuiſſe: ſed addit præterea, alterum oſtium ad Boream fuiſſe converſum, alterum vero divinius ad auſtrum: item Boreali illo patuiſſe deſcenſum. Utrum vero auſtrali quoque janua deſcendi potuerit, non indicat: id ſolum dicit, quod

V A R I Æ L E C T I O N E S.

1 εμφραξεσι] εμφραγησι Le Moyne *Ep. de Melaneph.* p. 265. 2 Αρκαδια δε] Αρκαδι δε Cant. 2. 3 βορειους] Ita Argent. Cant. 2. βωρειους Cant. 1. βαρειους Baſil. 2. 3.

. . . . οὐδέ τι κείνη
Ἄνδρες [1] ἐσέρχονται· ἀλλ' ἀθανάτων ὁδός ἐστιν.

CAP. XXI. Ἕπεται τοίνυν [2] ζητεῖν τι τὸ βούλημα, εἴτε τῶν καθιδρυσαμένων, ὥσπερ ἱστορεῖ ὁ ποιητὴς ἀπαγγέλλει, ἢ αὐτοῦ γε τὸ αἴνιγμα· εἴ περ [3] αὐτῷ πλάσμα τὸ διήγημα. [4] τοῦ δὲ ἄντρου [5] εἰκόνα καὶ σύμβολόν φησι τοῦ κόσμου φέροντος [6] Νουμήνιος, καὶ ὁ τούτου ἑταῖρος Κρόνιος, δύο εἶναι ἐν οὐρανῷ ἄκρα· ὧν οὔτε νοτιώτερόν ἐστι τῶν χειμερινοῦ τροπικοῦ· οὔτε βορειότερον τοῦ θερινοῦ· ἔστι δ' ὁ μὲν θερινὸς, κατὰ καρκίνον· ὁ δὲ χειμερινὸς, κατ' [7] αἰγόκερων. καὶ προσγειότατος μὲν ὢν ἡμῖν ὁ καρκίνος, εὐλόγως τῇ προσγειοτάτῃ σελήνῃ ἀπεδόθη· ἀφανοῦς δ' ἔτι ὄντος τοῦ νοτίου πόλου, τῷ μακρὰν ἔτι ἀφεστηκότι, καὶ ἀνωτάτῳ τῶν πλανωμένων πάντων ὁ [8] αἰγόκερως ἀπεδόθη, ἤγουν τῷ Κρόνῳ.

CAP. XXII. Καὶ ἔχουσί γε ἐφεξῆς αἱ θέσεις τῶν ζωδίων ἀπὸ μὲν καρκίνου εἰς αἰγόκερων· πρῶτα μὲν λέοντα, οἶκον ἡλίου· εἶτα παρθένον, ἑρμοῦ· ζυγὸν δὲ, ἀφροδίτης· σκόρπιον, ἄρεος· τοξότην, Διός· Αἰγόκερων, κρόνου· ἀπὸ δ' αἰγοκέρω [9] ἔμπαλιν,

. . . . *Invia prorſus*
Eſt homini: præbetque viam immortalibus unis.

Proximum igitur eſt, ut inquiramus, quid ſibi velit hæc narratio; ſive ab aliis conſecratum dedicatumque antrum vera fide poëta deſcribat; ſive occultum quid eo ſignificet; ſeu merum ipſius figmentum ſit. Sed cum antrum hoc mundi imaginem ſymbolumque gerat, Numenius, & familiaris ejus Cronius duas aiunt in cœlo extremitates eſſe: quarum altera nihil remotius ad auſtrum, tropico hyberno; nec ſeptentrionalius quidquam æſtivo. Et æſtivus quidem eſt ad ſignum Cancri; hybernus vero ad Capricornum. Et cum Cancer nobis ſit viciniſſimus, optima ratione Lunæ, quæ terræ proxima eſt, attribuitur. Cumque polus Auſtralis nobis inconſpicuus ſit, ideo Capricornus maxime diſſito & ſupremo planetarum, Saturno ſcilicet, tribuitur.

Et ſigna a Cancro ad Capricornum hoc ordine ſitum ſuum obtinent. Primum quidem Leo, domus ſolis: dein Virgo, Mercurii: Libra autem, Veneris: Scorpius, Martis: Sagittarius, Jovis: Capricornus, Saturni. Rurſum verſo ordine a

VARIÆ LECTIONES.

1 *εσερχονται*] Ita reſtitui e Cant. 2. Reliquæ fere *εισερχονται* vitio metri. 2 *ζητειν τι το*] Sic Barneſius correxit: olim *τι* omittebatur. Cæterum illud, quod ſequitur *ωσπερ* neſcio quid alieni habet: integer locus ſanus non videtur: ſed nolo quidquam temere conſtituere. 3 *αυτῳ πλ.*] malim *αυτου*. 4 *του δε*] Ita Cant. 2. *δη* Venet. Baſil. 2. & Cant. 1. *δι* Baſil. 3. 5 *εικονα*] Confer quæ nos ex *Platonicis* ad *Od. ν'*, 110. BARNESIVS. Vide hanc notam inter var. expl. in Homeri locum, in Apparatu. 6 *Νουμηνιος*] *Νουμενιος* Cant. 2. 7 *αιγοκερων*] *αιγοκαιρων* Venet. & Baſil. 2. 8 *αιγοκερως*] Ita optime. Baſil. 2. 3. *αιγοκερος* unde mox illæ *αιγοκερου* habent, ubi Cant. 2. recte *αιγοκερω* dedit. 9 *εμπαλιν*] *δ' εμπαλιν* Cant. 2.

ὑδροχόον, κρόνου· ἰχθύας, διὸς· ἄρεος, κριόν· ταῦρον, ἀφροδίτης· διδύμους, ἑρμοῦ· καὶ σελήνης λοιπὸν καρκίνον. δύο οὖν ταύτας ἔθεντο πύλας, καρκίνον καὶ αἰγόκερων οἱ θεολόγοι. Πλάτων δὲ δύο στόμια ἔφη· τούτων δὲ καρκίνον μὲν εἶναι, δι' οὗ κατιᾶσιν αἱ ψυχαί· αἰγόκερων δὲ, δι' οὗ ἀνιᾶσιν. ἀλλὰ καρκίνος μὲν, βόρειος καὶ καλαβατικός. αἰγόκερως δὲ, νότιος καὶ ἀναβατικός. ἔστι δὲ τὰ μὲν βόρεια, ψυχῶν εἰς γένεσιν κατιουσῶν.

Cap. XXIII. Καὶ ὀρθῶς καὶ τοῦ ἄντρου αἱ πρὸς βοῤῥᾶν πύλαι καταβαταὶ ἀνθρώποις. [1] τὰ δὲ νότια οὐ θεῶν, ἀλλὰ τῶν εἰς θεοὺς ἀνιουσῶν· διὰ τὴν αὐτὴν αἰτίαν, οὐ θεῶν ἔφη ὁδὸς, ἀλλ' ἀθανάτων· ὃ κοινὸν καὶ ἐπὶ ψυχῶν [2] ἢ οὐσῶν καθ' αὐτὸ, ἢ τῇ οὐσίᾳ ἀθανάτων. τῶν δύο πυλῶν τούτων μεμνῆσθαι καὶ Παρμενίδην ἐν τῷ Φυσικῷ φασι· Ῥωμαίους τε καὶ Αἰγυπτίους. Ῥωμαίους γὰρ τὰ κρόνια ἑορτάζειν, ἡλίου κατ' αἰγόκερων γενομένου. ἑορτάζειν δὲ τοὺς δούλους ἐλευθέρων [3] ὑποδήματα περιβάλλοντας,

Capricorno, Aquarius Saturni: Piſces, Jovis: Aries, Martis: Taurus, Veneris: Gemini, Mercurii: denique Cancer Lunæ. Duas ergo has portas ponebant Theologi, Cancrum & Capricornum: quæ Plato duo oſtia vocat. Ex hiſce Cancrum aiunt eſſe, per quem animæ deſcendunt: Capricornum vero per quem rurſus aſcendunt. At Cancer quidem borealis & deſcenſui aptus: Capricornus autem auſtralis, & aſcenſui commodus. Partes vero ſeptentrionales propriæ ſunt animabus in generationem deſcendentibus.

Et recte quidem portæ antri boream ſpectantes, deſcenſui hominum patere dicuntur. Partes autem auſtrales, non Deorum, ſed aſcendentium ad Deos. Eam ob cauſam non dixit Deorum viam, ſed immortalium: quod animabus quoque commune eſt, quæ per ſe ſive eſſentia ſua immortales ſunt. Harum duarum portarum et Parmenidem libro de rerum natura meminiſſe aiunt. Apud Romanos quoque & Ægyptios eorum memoriam exſtare. Romanos enim Saturnalia celebrare Sole ad Capricornum accedente: celebrare vero ita, ut ſervos liberorum caligis

VARIÆ LECTIONES.

1 *τα δε νοτια*] debuiſſet *αἱ δε νοτιαι*, ſi ſtricte loqueretur. nunc *μερη* intelligit, enallage generis ſatis obvia, & ſatis etiam a DD. VV. obſervata (*a*): unde nihil temere mutandum. 2 *η ουσων καθ' αυτο*] Non capio hæc ſatis e ſententia: Melius intelligerem, ſi *καθ' αὑτας*, *εξ αὑτων*, aut ſimile quid legeretur: Innuit Porphyrius, animas vel *a ſe ipſis exſiſtentes*, h. e. *δι' αὑτων*, *εξ αὑτων*, & *καθ' αυτας*, ut Plato loquitur & Philoſophi vetuſti, vel *ſua natura inmortales*, *αθανατους τη ουσιᾳ*· *animabus* enim proprium *immortales* eſſe. 3 *ὑποδηματα περιβ.*] de hoc loco ita cel. Ruhnkenius in literis ad me datis: „ Non dubito, quin Te & locutio, & res ipſa offenderit in his, *εόρτάζειν δὲ* „ *τοὺς δούλους ἐλευθέρων ὑποδήματα περιβάλλοντας*· Mihi legendum videtur: *ἐνδύματα περι-* „ *βάλλοντας*. Dominos ſaturnalibus poſuiſſe, ſervos induiſſe, docet Lipſius Saturn. I. 2." Veriſſime vir acutiſſimus, de cujus emendatione Porphyrio gratulamur.

(*a*) v. Elsner. Obſerv. Sacr. Tom. I. p. 128. Mill. præf. Tom. I. ed. *των* LXX. p. XI. Barneſ. ad Anacreont. p. 8.

καὶ πάντων ἀλλήλοις κοινωνούντων. αἰνιξαμένου τοῦ νομοθέτου, ὅτι κατὰ ταύτην τοῦ οὐρανοῦ τὴν πύλην, οἱ νῦν ὄντες διὰ τὴν γένεσιν δοῦλοι, διὰ τῆς κρονικῆς ἑορτῆς, καὶ τοῦ ἀνακειμένου κρόνῳ οἴκου, ἐλευθεροῦνται, ἀναβιωσκόμενοι καὶ εἰς [1] αὐτογένεσιν ἀπερχόμενοι. καταβατικὴ δὲ αὐτοῖς ἡ ἀπ᾽ αἰγόκερω ὁδός. διὸ ἰανοὰν εἰπόντες τὴν θύραν, καὶ ἰανουάριον μῆνα τὸν θυραῖον προσεῖπον· ἐν ᾧ ἥλιος ἀπ᾽ αἰγόκερω πρὸς ἑῴαν ἐπάνεισιν, ἐπιστρέψας εἰς τὰ βόρεια.

CAP. XXIIII. Αἰγυπτίοις δὲ ἀρχὴ ἔτους [2] οὐχ᾽ ὑδροχόος, ὡς Ῥωμαίοις. ἀλλὰ καρκίνος. πρὸς γὰρ τῷ καρκίνῳ ἡ σῶθις, ἣν κυνὸς ἀστέρα Ἕλληνες φασί. νουμηνία δ᾽ αὐτοῖς ἡ σώθεως ἀνατολὴ, γενέσεως κατάρχουσα τῆς εἰς τὸν κόσμον· οὔτ᾽ οὖν ἀνατολῇ καὶ δύσει τὰς θύρας ἀνέθηκαν, οὔτε ταῖς ἰσημερίαις, οἷον κριῷ καὶ ζυγῷ, ἀλλὰ νότῳ καὶ βορρᾷ, καὶ ταῖς κατὰ νότον [3] νοτιωτάταις, καὶ ταῖς κατὰ βορρᾶν βορειοτάταις· ὅτι ψυχαῖς καθιέρωτο τὸ ἄντρον καὶ νύμφαις ὑδριάσι. [4] ψυχαῖς δὲ γενέσεως καὶ ἀπογενέσεως οἰκεῖοι οἱ τόποι. τῷ μὲν οὖν Μίθρᾳ, οἰκείαν καθέδραν τὴν κατὰ τὰς ἰσημερίας [5] ὑπέταξαν. διὸ κριοῦ μὲν φέρει ἀρηΐου ζωδίου τὴν μάχαιραν· ἐποχεῖται δὲ [6] ταύρῳ ἀφροδίτης. ὡς καὶ ὁ ταῦρος, δημιουργὸς ὢν ὁ Μίθρας, καὶ γενέσεως δεσπό-

induant, & omnia invicem communia habeant. Quo ipſo legiſlator ſignificare voluit, quod juxta hanc cœli portam, iis quos naſcendi conditio ſervos fecit, per feſtum Saturnaliorum & domum Saturno attributam liberantur, ubi reviviſcunt & ad generationis fontem redeunt. Retrograda autem ipſis via, quæ a Capricorno incipit. Idcirco cum *januam* vocent *oſtium*, menſem quoque *Januarium* quaſi *oſtiarium* appellarunt, quo ſol a Capricorno verſus orientis plagam revertitur, curſum ad ſeptentrionales partes dirigens.

Ægyptiis vero principium anni non Aquarius, ut apud Romanos, ſed Cancer. Nam prope Cancrum eſt Sothis ſtella, quam Græci Canem vocant. Novilunium autem ipſis exortus Sothis, quod generationis principium in mundo ſit. Quapropter non orienti & occaſui, nec æquinoctiis portas attribuerunt, arieti ſcilicet & libræ; ſed auſtro & boreæ, portiſque verſus auſtrum maxime auſtralibus, & verſus boream maxime borealibus: quia antrum hoc animabus & Nymphis aquaticis ſacrum erat. Animabus vero naſcendis & denaſcendis loca illa maxime propria. Quocirca Mithræ peculiarem ſedem juxta æquinoctia attribuerunt. Ideo arietis, Martii ſigni, gladium geſtat; vehiturque Tauro, ſigno Veneris: nam Mithra æque ut Taurus

VARIÆ LECTIONES.

1 αυτογενεσιν] αυτογεννησιν Cant. 2. 2 ουχ᾽ ὑδροχοος] Al. ουχ᾽ ὁ ὑδροχοος. 3 νοτιωταταις] Irrupit poſt hæc lacuna e Cant. 1. in 2. derivata, quam e prioribus editis & verſione Holſtenii reſtituimus: omittebantur enim verba, και ταις κατα βορραν βορειοταταις· qui ſtricte cenſeat, non dubito, quin univerſum hunc locum, inde a νοτῳ και βορρα obelo notaverit. 4 ψυχαις δε γενεσεως &c.] An forte: ψυχαις δε, επιγενεσεως και απογενεσεως ο. cit. cl. Geſnerus excitat: ψυχαις και γενεσεως και απο γεν. quod etſi recepta ſit potius, non ſufficit tamen. 5 ὑπεταξαν] Baſil. 2. ὑπετοξαν· Venet. ὑπετοξον. 6 ταυρῳ Αφροδιτης] Melius ſcripſeris & Græco more: ταυρῳ τῳ Αφροδιτης, diſtinctive.

της, κατὰ τὸν ἰσημερινὸν δὲ τέτακται κύκλον· ἐν δεξιᾷ μὲν ἔχων τὰ βόρεια, ἐν ἀριστερᾷ δὲ τὰ νότια. τεταγμένου αὐτοῖς κατὰ μὲν τὸν νότον, τοῦ κατ' αὐτὸν [1] ἡμισφαιρίου, διὰ τὸ εἶναι θερμόν· κατὰ δὲ τὸν βοῤῥᾶν, τοῦ κατ' ἐκεῖνον, διὰ τὸ ψυχρὸν τοῦ ἀνέμου.

CAP. XXV. Ψυχαῖς δ' εἰς γένεσιν ἰούσαις, καὶ ἀπὸ γενέσεως χωριζομέναις εἰκότως ἔταξαν ἀνέμους· διὰ τὸ [2] ἐφέλκεσθαι καὶ [3] αὐτὰς πνεῦμα, ὡς τινες ᾠήθησαν, καὶ τὴν οὐσίαν ἔχειν τοιαύτην. ἀλλὰ βορέας [4] μὲν οἰκεῖος εἰς γένεσιν ἰούσαις. διὸ καὶ τοὺς θνήσκειν μέλλοντας ἡ [5] βορέου πνοὴ ζωγρεῖ ἐπιπνείουσα, κακῶς [6] κεκαφηότας θυμόν. ἡ δὲ τοῦ νότου διαλύει. ἡ μὲν γὰρ πήγνυσι ψυχροτέρα οὖσα, καὶ ἐν τῷ ψυχρῷ τῆς χθονίου γενέσεως διακρατεῖ. ἡ δὲ διαλύει, θερμοτέρα οὖσα, καὶ πρὸς τὸ θερμὸν τοῦ θείου ἀναπέμπουσα. βορειοτέρας δ' οὔσης τῆς ἡμετέρας οἰκουμένης [7] ἀνήκει τὰς τῇδε κυομένας βοῤῥᾷ ἀνέμῳ ὁμιλεῖν· καὶ τὰς ἐντεῦθεν ἀπαλλαττομένας, νότῳ· αὕτη δὲ καὶ ἡ αἰτία τοῦ τὸν μὲν βοῤῥᾶν ἀνερχόμενον μέγαν εἶναι τὸν δὲ νότον, λήγον-

auctor productorque rerum eſt, & generationis dominus. Poſitus autem eſt juxta æquinoctialem circulum, habens a dextris partes ſeptentrionales, a ſiniſtris auſtrales: adjuncto ipſi auſtrali hemiſphærio: a parte auſtri, eo quod calidum ſit: verſus boream vero, boreali; ob venti ejus frigiditatem.

Cæterum animabus in generationem progredientibus, & a generatione redeuntibus non ſine ratione ventos adjungebant: eo quod & ipſæ, ex quorundam ſententia, ſpiritum attrahant; & ſubſtantiam ſpiritualem obtineant. Sed boreas quidem proprius iis quæ in generationem progrediuntur: ideoque moribundos boreæ aura afflans refocillat, ægre animam trahentes. Contra auſtri flatus diſſolvit. Illius enim aura congelat conſtringitque eo quod frigidior ſit, & in terrenæ generationis frigiditate dominetur: hujus vero diſſolvit; quia calidior eſt, & ad divinum calorem remittit. Sed cum terra quæ a nobis habitatur magis ad boream vergat, animas hic naſcentes boreæ venti conſuetudine uti oportet; auſtri autem eas quæ hinc diſcedunt. Eadem quoque cauſa eſt cur Boreas primo impetu vehemens ſit: auſter

VARIÆ LECTIONES.

poſt δεσποτης, quod ſuccedit, peſſime editi punctum majus poſuerant: unde Holſtenius non nihil e via deflexit. 1 ἡμισφαιριου] ἡμισαιφριου Rom. Venet. Arg. ἡ μισαιφριου Baſ. 2. non puto, corruptum alicui hunc locum viſum iri: alias ex hac diſcrepantia vera forte lectio poſſet erui, quare adnotavi. 2 εφελκεσθαι και αυτας] Certiſſime tranſpones .... και εφελκεσθαι αυτας· junguntur enim: *Ideo, quod et ventum adtrahant, e quorundam ſententia* (vel *ſpiritum*): *Et ſua eſſentia tales, ſint.* 3 αυτας] Ita opt. ſed Baſil. 2. 3. αυται. 4 μεν οικειος] melius videbatur hoc, quam antiquiorum ὁ οικειος· Ideo e Cant. 2. repetii. 5 βορεου] vid. ad *Iliad.* ε'. 697. & *Odyſſ.* ν'. 110. BARNESIUS. dabimus hanc notam inter *Explic. var. loci Homerici* in Apparatu, poſteriorem puta: ad Iliad. enim nihil. 6 κεκαφηοτας] κεκαφηοτα Cant. 2. non melius, proprie hoc vertas *exſpirantes*: unde parum abeſt, quin dixerim, legendum pro κακως κεκαφηοτας eſſe ει και ὡς κεκαφηοτας· *licet jam quaſi efflarent animam; etſi exſpirare jam fere viderentur*: quod præterea εμφατικωτερον. 7 ανηκει] Rom. 1. ανηκε.

τα. ὁ μὲν γὰρ, εὐθὺς ἐπίκειται τοῖς ὑπὸ τὴν ἄρκτον οἰκοῦσιν· ὁ δὲ μακρὰν ἀφέστηκε· χρονιωτέρα δ' ἡ ἐκ τῶν ἄποθεν ἐπιῤῥοή. καὶ ὅταν ἀθροισθῇ, τότε [1] πληθύνει.

Cap. XXVI. Εἰς γένεσιν δ' ἀπὸ βορέου πύλης τῶν ψυχῶν ἐρχομένων, ἐρωτικὸν διὰ τοῦτο [2] ὑπεστήσαντο τὸν ἄνεμον. καὶ γάρ,

> [3] Ἵππῳ ἐεισάμενος [4] παρελέξατο κυανοχαίτῃ.
> Αἳ δ' ὑποκυσάμεναι ἔτεκον δυοκαίδεκα πώλους.

Καὶ τὴν Ὠρείθυιαν αὐτὸν ἁρπάσαι φασίν. ἐτέκνωσέ τε Ζήτην καὶ Κάλαϊν. τὸν δὲ νότον θεοῖς νέμοντες, ἱσταμένης τῆς μεσημβρίας, ἐν τοῖς ναοῖς τῶν θεῶν τὰ περιπετάσματα ἕλκουσι. τὸ Ὁμηρικὸν δὴ τοῦτο φυλάσσοντες παράγγελμα, ὡς κατὰ τὴν εἰς νότον ἔγκλισιν τοῦ ἡλίου. καὶ οὐ θέμις ἀνθρώπους εἰσιέναι εἰς τὰ ἱερά· ἀλλ' ἀθανάτων ὁδός ἐστιν.

Cap. XXVII. [5] Ἱστᾶσιν οὖν καὶ σύμβολον τῆς μεσημβρίας καὶ τοῦ νότου, ἐπὶ τῇ θύρᾳ μεσημβριάζοντος τοῦ θεοῦ. οὐκοῦν οὐδ' ἐπὶ τῶν ἄλλων θυρῶν ἐφ' ὁποιασοῦν ὥρας ἐξῆν λαλεῖν, ὡς ἱερᾶς οὔσης θύρας καὶ διὰ τοῦτο οἱ [6] Πυθαγόρειοι, καὶ οἱ παρ' Αἰγυπτίοις

vero ſub ipſum finem. Ille enim recta incumbit habitantibus ſub ſeptentrione: at hic longius diſtat: tardior vero ex longinquo afflatus: qui ubi coacervatur, tum demum augeſcit.

Præterea cum animæ à porta boreæ generationem ingrediantur, ideo amatorium hunc ventum finxerunt. Hinc apud Poëtam:

> *Aſſimilatus equo ſe miſcuit hiſce jubato:*
> *Aſt illæ gravidæ bis ſex pullos genuerunt.*

Et Orithyiam eum rapuiſſe ferunt: ex qua Zeten Calainque progenuit. Auſtrum vero Diis attribuentes, mero meridie in templis Deorum cortinas reducunt. Scilicet Homericum illud præceptum ſervantes, ſole verſus auſtrum inclinante nefas eſſe hominibus deorum templa ingredi: *ſed iter patet immortalibus unis.*

Auſtrum igitur meridiei ſymbolum ſtatuunt: cum Deus meridiano tempore oſtio immineat. Ideoque nec ad alias fores quocunque demum tempore loqui fas erat: quaſi ſacræ ſint fores. Atque eam ob cauſam Pythagorei & Ægyptiorum

VARIÆ LECTIONES.

1 πληθυνει] πληθυν Argent. 2 ὑπεστησαντο] Cant. 2. unitatis numero ὑπεστησατο. 3 Ἱππῳ] Iliad. υ'. 224. Barnesius. 4 παρελεξατο] παρελαξατο Venet. 5 ἱστασιν ουν &c.] Locum non capio, niſi plenius legeris: ἱστασιν ουν ΕΠΙ ΤΩι ἹΕΡΩι και συμβ. &c. vel potius: ἱστασιν ουν του ἱερου (vel θειου) συμβολον και την μεσημβριαν και τον νοτον· *Divinarum igitur ſacrarumque rerum & meridiem ſtatuerunt ſymbolum, & Notum.* 6 Πυθαγορειοι] Ita Cant. utraque, aliæ ut Rom. 1. & Baſil. 2. 3. Πειθαγορειοι.

σοφοὶ, μὴ λαλεῖν ἀπηγόρευον διερχομένȣς ἢ θύρας, ἢ πύλας· σεβομένȣς ὑπὸ σιωπῇ θεὸν ἀρχὴν τῶν ὅλων ἔχοντα. οἶδε δὲ καὶ Ὅμηρος ἱερὰς τὰς θύρας, ὡς δηλοῖ παρ' αὐτῷ ὁ σείων Οἰνεὺς ἀνθ' ἱκετηρίας τὴν θύραν,

[1] Σείων κολλητὴν σανίδα γȣνȣ́μενος υἱόν.

Οἶδε δὲ καὶ πύλας ȣ̓ρανȣ̃, ἃς αἱ Ὧραι ἐπιςεύθησαν, ἀρχὰς ἐχȣ́σας τῶν νεφȣμένων τόπων· ὧν αἱ ἀνοίξεις καὶ τὰ κλεῖθρα διὰ νεφῶν.

[2] Ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος, ἠδ' ἐπιθεῖναι.

Καὶ διατȣ̃το μυκώμεναι· ὅτι καὶ αἱ βρονταὶ διὰ νεφῶν.

[3] Αὐτόματοι δὲ πύλαι μύκον ȣ̓ρανȣ̃, ἃς ἔχον Ὧραι.

CAP. XXVIII. Λέγει δέ πȣ καὶ [4] ἡλίȣ πύλας· σημαίνων Καρκίνον τε καὶ Αἰγόκερων· ἄχρι τȣ́τȣ προϊȣ̃σιν, ἀπὸ βορέȣ ἀνέμȣ εἰς τὸν νότον κατιὼν κἀκεῖθεν ἐπανιὼν εἰς τὰ βόρεια. Αἰγόκερως δὲ καὶ Καρκίνος περὶ τὸν γαλαξίαν, τὰ πέρατα αὐτȣ̃

ſapientes prohibebant, ne quis fores vel portas tranſiens loqueretur: Deum univerſi principium ſilentio venerantes. Cæterum nec Homerus ignoravit portas ſacras eſſe: quod Oeneus apud ipſum ſupplicationis loco portam pulſans oſtendit:

Aſſeribusque fores compactas concutit orans
Gnatum.

Quin & Cœli portas Horis commiſſas novit, locis nebuloſis principia ſua habentes; quæ & aperiuntur & occluduntur per nubes:

Sive aperire velint denſam, ſeu claudere nubem.

Quæ & remugire dicuntur, quia tonitrua per nubes eduntur.

Sponte ſua crepuere fores cœli, quibus Horæ
Præſunt.

Idem & Solis portas alibi commemorat: Cancrum & Capricornum ſignificans. Hiſce enim ſpatiis Sol a ſeptentrione ad auſtrum deſcendens, & inde rurſum ad partes boreales aſcendens includitur. At Capricornus & Cancer prope lacteum

VARIÆ LECTIONES.

1 Σειων] *Iliad.* ί. 579. ibi κολλητὰς σανίδας melius. BARNESIVS. 2 Ἠμεν] *Iliad.* έ. 751. θ́. 393. Idem. 3 Αυτοματοι] *Iliad.* έ 749. θ́. 395. Idem. 4 ἡλιου πυλας] Ηελιοιο πυλας Cant. 2. ubi: „ *Od.* ώ. 12." Idem.

εἰληχότες· Καρκίνος μὲν τὰ βόρεια, Αἰγόκερως δὲ τὰ νότια· δῆμος δὲ ὀνείρων κατὰ Πυθαγόραν αἱ ψυχαὶ, ἃς συνάγεσθαί [1] Φησιν εἰς τὸν γαλαξίαν· τὸν οὕτω προσαγορευόμενον, ἀπὸ τῶν γάλακτι τρεφομένων, ὅταν εἰς γένεσιν πέσωσιν. ᾧ καὶ σπένδειν αὐταῖς [2] τοὺς ψυχαγωγοὺς μέλι κεκραμένον γάλακτι· ὡς ἂν δι' ἡδονῆς εἰς γένεσιν [3] μεμελετηκυίαις ἔρχεσθαι· αἷς [4] συγκυεῖσθαι τὸ γάλα πέφυκεν. ἔτι τὰ μὲν νότια μικροφυῆ ποιεῖ τὰ σώματα. τὸ γὰρ θερμὸν ἰσχναίνειν αὐτὰ μάλιστα εἴωθεν. ἐν αὐτῷ δὲ τούτῳ καὶ κατασμικρύνειν καὶ ξηραίνειν. ἔτι δ' ἐν τοῖς βορείοις πάντα μεγάλα τὰ σώματα. δηλοῦσι δὲ Κελτοὶ, Θρᾷκες, Σκύθαι. ἥ τε γῆ κάθυγρος αὐτῶν οὖσα, καὶ νομὰς πλείστας φέρουσα. ἐπεὶ καὶ αὐτό γε τοὔνομα ἀπὸ τῆς βορᾶς· βορὰ δὲ ὄνομα τροφῆς. καὶ ὁ ἐκ γῆς οὖν πνέων τροφοῦ, ἅτε τρόφιμος ὢν, βορρᾶς κέκληται.

Cap. XXIX. Κατὰ ταῦτα τοίνυν τῷ μὲν θνητῷ καὶ [5] γένεσιν ὑποπεπτωκότι φύλῳ, τὰ βόρεια οἰκεῖα· τῷ δὲ ἀθανάτῳ, τὰ νότια· ὡς θεοῖς μὲν τὰ ἀνατολικά. δαίμοσι δὲ τὰ δυτικά. ἀρξαμένης γὰρ τῆς φύσεως ἀπὸ ἑτερότητος, πανταχοῦ τὸ δίθυρον αὐτῆς πεποίηνται σύμβολον. ἢ γὰρ διὰ νοητοῦ ἡ πορεία, ἢ δι' αἰσθητοῦ. [6] καὶ τοῦ αἰσθητοῦ, ἢ διὰ τῆς ἀπλανοῦς, ἢ διὰ τῆς τῶν πεπλανημένων. [7] καὶ πάλιν, ἢ

circulum ſunt, cujus extremitates occupant: Cancer quidem ſeptentrionales; Capricornus vero auſtrales. Cæterum ſecundum Pythagoram animæ ſunt turba illa ſomniorum, quam in lacteum circulum congregari aſſerit: cui id nomen ab animabus, quæ in generationem delapſæ lacte nutriuntur. Et hanc ob cauſam illos qui animas evocant lac mulſum in libationibus adhibere: quippe quæ dulcedinis illicio in generationem venire avent; cum quibus lac una gigni ſolet. Præterea regiones auſtrales corpora exigua producunt. Calor enim maxime ea attenuare, atque hoc ipſo imminuere & exſiccare ſolet. E contra in borealibus plagis omnia corpora magna proveniunt. Exemplo ſunt Celtæ, Thraces & Scythæ: & regio ipſorum humida eſt, & paſcuis abundat. Cum ipſum quoque Boreæ nomen veniat a vorando: quæ vox ad nutritionem ſpectat. Inde & ventus a terra nutrimentis affluente ſpirans, utpote nutritivus, Boreas quaſi vorans fuit dictus.

Haſce ergo ob cauſas mortalitati & naſcendi legibus obnoxio generi proprie boreales partes conveniunt: immortali vero, auſtrales. Sicuti Diis orientales; dæmonibus vero occiduæ tribuuntur. Cum enim natura a diverſitate cœperit, quicquid ubique bipatente aditu eſt, ſymbolum ejus conſtituerunt. Progreſſus enim vel per intelligibile, vel per ſenſibile. Et ſi per ſenſibile, aut per orbem fixum,

VARIÆ LECTIONES.

1 *Φησιν*] Ita pleræque. Cant. 2. *Φασιν*· ſimiliter Meurſ. Spicil. in Theocr. p. 138. Pontan. in Macrob. p. 678. 2 *τους*] Argent. *την*. 3 *μεμελετηκυιαις*] *μεμελετηκυιας* Argent. 4 *συγκυεισθαι*] *συγκεισθαι* Baſil. 3. 5 *γενεσιν*] *γενεσει* Baſil. 2. 3. 6 *και του αισθητου*] omittuntur hæc in Cant. 2. 7 *και παλιν, η δια*] Vide Lector, quam recte lacunam, caſu detectam, reſtituere poſſis. Scripſerat auctor: *και παλιν* ΤΟΥ ΝΟΗΤΟΥ, *η δια* &c. ſed imperitus exſcriptor, concurſu ſecundorum caſuum turbatus, media omiſit.

διὰ τῆς [1] ἀθανάτου, ἢ διὰ τῆς θνητῆς πορείας. καὶ κέντρον, τὸ μὲν ὑπὲρ γῆν, τὸ δ' ὑπόγειον· τὸ μὲν, ἀνατολικόν· τὸ δὲ, δυτικόν. καὶ τὰ μὲν ἀριστερὰ, τὰ δὲ δεξία. νύξ τε καὶ ἡμέρα· καὶ διὰ τοῦτο, παλίντονος ἡ ἁρμονία, [2] καὶ τοξεύει διὰ τῶν ἐναντίαν. δύο δὲ στόμια Πλάτων φησί· δι' οὗ μὲν ἀναβαινόντων εἰς οὐρανόν. δι' οὗ δὲ κατιόντων εἰς γῆν. καὶ τῶν θεολόγων πύλας ψυχῶν ἥλιον τιθέντων καὶ σελήνην· καὶ διὰ μὲν ἡλίου, ἀνιέναι, [3] διὰ δὲ σελήνης κατιέναι· καὶ δύω πίθοι παρ' Ὁμήρῳ,

[4] Δώρων οἷα δίδωσι κακῶν, ἕτερος δὲ ἑάων.

Cap. XXX. Πίθου νοουμένης καὶ παρὰ Πλάτωνι ἐν Γοργίᾳ τῆς ψυχῆς· καὶ τῆς μὲν [5] καλοεργέτιδος, τῆς δὲ κακοεργέτιδος· καὶ τῆς μὲν λογικῆς, τῆς δ' ἀλόγου· πίθοι δὲ, ὅτι [6] χωρήματα ἦσαν αἱ ψυχαὶ ἐνεργειῶν τε καὶ ἕξεων ποιῶν. καὶ παρ' Ἡσιόδῳ ὁ μέν τις νοεῖται πίθος δεδεμένος· [7] ὁ δὲ, ὃν λύει ἡ ἡδονὴ, καὶ εἰς πάντα διασκεδάννυσι, μόνης ἐλπίδος μενούσης. ἐν οἷς γὰρ ἡ φαύλη ψυχὴ σκιδναμένη περὶ ὕλην τάξεως διαμαρτάνει, ἐν τούτοις ἅπασι ταῖς ἀγαθαῖς ἐλπίσιν ἑαυτὴν βουκολεῖν εἴωθε.

Cap. XXXI. Πανταχοῦ τοίνυν τοῦ διθύρου φύσεως ὄντος συμβόλου, εἰκότως καὶ

aut per orbes planetarum. Rurſumque vel per immortalem, vel per mortalem viam. Et alter quidem mundi cardo ſupra terram, alter ſubterraneus: item alius orientalis, alius occidentalis. Et aliæ mundi partes ſiniſtræ ſunt, aliæ dextræ. Tum nox & dies, idcirco univerſi harmonia ex contrariorum concentu conſtat, & contrariis ſibi invicem oppoſita eſt. Plato etiam duo oſtia ſive fauces commemorat, quarum altera patet aſcendentibus in cœlum; altera deſcendentibus in terram. Sic & Theologi Solem ac Lunam animarum portas ſtatuunt: quas per Solem aſcendere, & deſcendere per Lunam volunt. Apud Homerum quoque duo ſunt dolia:

Quorum hoc largitur mala, ſed bona continet illud.

Sed & apud Platonem in Gorgia per dolium anima intelligitur. Quarum alia benefica, alia maligna: alia rationalis, alia vero rationis eſt expers. Dolia autem (vocantur animæ) quia certarum facultatum & habituum capaces ſunt, (& quaſi fundi). Apud Heſiodum quoque aliud dolium clauſum videmus; alterum quod voluptas reſerat, & per omnia diffundit, ſola ſpe remanente. In queiſcunque enim mala & corrupta anima circa materiem effuſa ordinem ſuum deſerit, in illis omnibus bona ſpe ſeipſam paſcere ſolet.

Cum ergo omne bipatens ſeu bipartitum naturæ ſymbolum gerat, recte quoque

VARIÆ LECTIONES.

1 *αθανατου*] *αθανατης* Cant. 2. 2 *και τοξευει*] vix dubito quin melius *ἢ τοξευει*. 3 *δια δε σελ. κατ.*] Hæc clauſula deeſt *Græce*, edit. *Cantabr.* 1655. Barnesius. 4 *Δωρων*] *Iliad.* ώ, 528. Idem. 5 *καλοεργετιδος και κακοεργετιδος*] utrobique *ατιδος* Cant. 2. 6 *χωρηματα*] *χρηματα* Cant. 2. 7 *ὁ δε*] *οἱ δε* Cant. 2.

τὸ ἄντρον οὐ μονόθυρον, ἀλλὰ δύο ἔχον θύρας, ὡσαύτως τοῖς πράγμασιν ἐξηλλαγμένας· καὶ τὰς μὲν, θεοῖς τε καὶ τοῖς ἀγαθοῖς προσηκούσας· τὰς δὲ, θνητοῖς καὶ φαυλοτέροις. ἀφ᾽ ὧν καὶ Πλάτων ὁρμώμενος, οἶδε καὶ αὐτὸς κρατῆρας, καὶ ἀντὶ τῶν ἀμφορέων [1] λαμβάνει πίθους, καὶ δύο [2] στόματα, ὡς ἔφαμεν, τῶν δύο πυλῶν· καὶ τοῦ Συρίου Φερεκύδου μυχοὺς, καὶ βόθρους, καὶ ἄντρα, καὶ θύρας, καὶ πύλας λέγοντος· καὶ διὰ τούτων αἰνιττομένου τὰς τῶν ψυχῶν γενέσεις, καὶ [3] ἀπογενέσεις. ἀλλ᾽ ἵνα μὴ τὰ τῶν παλαιῶν φιλοσόφων τε, καὶ θεολόγων ἐπεισάγοντες τὸν λόγον μηκύνωμεν, τὴν πᾶσαν βούλησιν καὶ διὰ τούτων παραδεδειχέναι ἡγούμεθα τοῦ διηγήματος.

CAP. XXXII. Λείπεται δὴ παραστῆσαι τὸ τῆς πεφυτευμένης ἐλαίας σύμβολον, [4] ὅτι ποτὲ μηνύει. καί τοι αὕτη καὶ περιττότερόν τι παρίστησιν· οὐχ ἁπλῶς παραπεφυτεῦσθαι εἰρημένη, ἀλλ᾽ ἐπὶ κρατός.

> Αὐτὰρ ἐπὶ κρατὸς λιμένος τανύφυλλος ἐλαίη.
> [5] Ἀγχόθι δ᾽ αὐτῆς ἄντρον.

Ἔστι δ᾽ οὐχ, ὡς ἄν τις νομίσειεν, ἀπὸ τύχης τινὸς οὕτω βλαστήσασα· ἀλλ᾽ αὐτὴ συνέχουσα τοῦ ἄντρου τὸ αἴνιγμα. ἐπεὶ γὰρ ὁ κόσμος οὐκ εἰκῆ, οὐδ᾽ ὡς ἔτυχε γέγονεν

antrum hoc, non unum ſed duo oſtia habet, reipſa inter ſe diverſa: quorum alterum Diis, bonisque; alterum vero mortalibus, & deterioribus convenit: quæ Platoni quoque anſam præbuere ut & ipſe crateres ſtatueret, & amphorarum loco dolia poneret: & duo oſtia, ut diximus, loco duarum portarum. Cum & Pherecydes Syrius receſſus, & ſcrobes, item antra, januas portasque commemoret: quibus animarum generationes atque deceſſus ſignificat. Sed ne antiquorum Philoſophorum, ac Theologorum ſententiis adducendis orationem nimium extendamus: univerſam hujus narrationis mentem ſatis ſuperque hactenus a nobis explicatam arbitramur.

Reliquum eſt, ut quid olivæ adnaſcentis ſymbolum ſibi velit porro exponamus. Egregium enim aliquid ſignificare videtur: cum non ſimpliciter adnaſci, ſed ad caput ſeu verticem naſci dicatur:

> *Stat ramis diffuſa in portus vertice oliva:*
> *Quam propter jucundum antrum.*

Ea autem non fortuito, ut quis forte exiſtimaverit, ita enaſcitur: ſed occultam antri ſignificationem complectitur. Cum enim mundus non temere & caſu exſtite-

VARIÆ LECTIONES.

1 λαμβανει πιθους] λ. τους π. Cant. 2. 2 στοματα] στομα Cant. 2. ubi: „ male, στόματα, olim." BARNESIVS. 3 απογενεσεις] Cant. 2. απογεννησεις. 4 ὅτι] ὅ τι Cant. 2. 5 Αγχοτι] Baſil. 2. 3. εγχοθι. v. Homeri locum.

ἀλλ᾽ ἔστι φρονήσεως θεοῦ καὶ νοερᾶς φύσεως ἀποτέλεσμα, παραπεφύτευται τῇ [1] εἰκόνι τοῦ κόσμου τῷ ἄντρῳ, σύμβολον φρονήσεως θεοῦ, ἡ ἐλαία. Ἀθηνᾶς μὲν γὰρ τὸ φυτόν· φρόνησις δὲ ἡ Ἀθηνᾶ. Κρατογενοῦς δ᾽ οὔσης τῆς θεοῦ, οἰκεῖον τόπον ὁ θεολόγος ἐξεῦρεν, ἐπὶ κρατὸς τοῦ λιμένος αὐτὴν καθιερώσας. σημαίνων δι᾽ αὐτῆς, ὡς οὐκ ἐξ αὐτοματισμοῦ τὸ ὅλον τοῦτο, καὶ τύχης ἀλόγου ἔργον γέγονεν. ἀλλ᾽ ὅτι φύσεως νοερᾶς καὶ [2] σοφίας ἀποτέλεσμα· χωριστῆς μὲν [3] οὔσης ἀπ᾽ αὐτοῦ, πλησίον δὲ κατὰ τῆς κεφαλῆς τοῦ σύμπαντος λιμένος ἱδρυμένης.

CAP. XXXIII. [4] Ἀειθαλὴς δὲ οὖσα ἡ ἐλαία φέρει τι ἰδίωμα οἰκειότατον ταῖς ἐν τῷ κόσμῳ τροπαῖς τῶν ψυχῶν, αἷς τὸ ἄντρον καθιέρωται. διὰ μὲν γὰρ τοῦ θέρους, τὰ λευκὰ τῶν φύλλων [a] ἀνανεύει· διὰ δὲ τοῦ χειμῶνος, μεταστρέφει τὰ λευκότερα. ὅθεν καὶ ἐν ταῖς [5] λιτανίαις καὶ ἱκετηρίαις τὰς τῆς ἐλαίας θαλείας προτείνουσιν· εἰς τὸ λευκὸν αὐτοῖς τὸ σκοτεινὸν τῶν κινδύνων μεταβάλλειν ὀττευόμενοι. φύσει μὲν οὖν ἀειθαλεῖ ἐλαία συνέχεται, ἀρωγὸν πόνων καρπὸν φέρουσα. ἀνάκειται δὲ τῇ Ἀθηνᾷ. καὶ τοῖς ἀθληταῖς ἐξ αὐτῆς δίδοται νικήσασι στέφανος· καὶ ἀπ᾽ αὐτῆς ἱκετηρία τοῖς δεομένοις. διοικεῖται δὲ καὶ ὁ κόσμος ὑπὸ νοερᾶς φύσεως, φρονήσει ἀϊδίῳ καὶ ἀειθαλεῖ

rit; ſed ſapientiæ Dei & intellectualis naturæ ſit opificium; antro, quod mundi imaginem gerit, oliva apponitur; ſapientiæ divinæ ſymbolum. Nam Minervæ planta eſt: Minerva autem ſapientia. Quæ cum ex Dei vertice nata ſit: proprium ei locum Theologus reperit, dum in ipſo portus vertice conſecrat. Significans ea ipſa, univerſum hoc non motus temerarii, nec fortuiti caſus opus eſſe; ſed naturæ intellectualis & ſapientiæ abſolutiſſimum artificium, quæ ab ipſo quidem opere ſeparata: prope tamen in totius portus capite ſita eſt.

Verum cum ſemper vireat oliva, proprietatem quandam animarum in hoc mundo converſionibus convenientiſſimam ſuſtinet: quibus animabus antrum hoc ſacrum eſſe diximus. Nam æſtate albicantia folia ſurſum prominent: hyeme vero candidiora invertuntur. Unde & in precibus ſupplicationibusque ramos olivæ prætendunt: ominantes periculorum tenebras in candidam lucem ſibi permutatum iri. Quocirca oliva natura ſemper virente conſtat, fructum laboris operæque pretium proferens. Eademque Minervæ attribuitur: & athletis victoribus corona ex ea datur. Et ramus ſupplex ex eadem præbetur oraturis. Ita mundus quoque ab intellectuali natura regitur, & æterna ac ſemper virente agitur ſapientia: quæ in

VARIÆ LECTIONES.

1 *εικονι*] *εικοτι* Argent. 2 *σοφιας αποτ.*] ſi quid mutandum, quod non urgeo, dixerim ex ſuperioribus ſupplendum eſſe hunc locum legendumque *φυσεως νοερας και σοφιας* ΤΟΥ ΘΕΟΥ *αποτ.* Antea ſcripſerat ſub initium paginæ: *φρονησεως* ΘΕΟΥ *και νοερας φυσεως αποτελεσμα·* Imo *σοφιας* hoc loco nimis abſolute ponitur, quam ut locum tueri commode poſſit. 3 *ουσης απ᾽ αυτου*] Malim plenius: *χωριστης μεν ουσης* (ſcil. *της ελαιας*) *απ᾽ αυτου* ΤΟΥ ΑΝΤΡΟΥ, *πλησιον δε κ. λ.* Sic plana omnia, alioqui ſenſu tantum non deſtituta. 4 *αειθαλης*] Baſil. 3. per ſimplex λ, ut mox Baſil. 2. 3. a *ἀνανευει*] Aliena eſt hæc vox & ab auctoris mente abhorret. Cl. Ruhnkenius *ανταυγει* cenſet legendum: *æſtate albus foliorum color reſplendet*, neque dubito equidem de veritate emendationis. 5 *λιτανιαις*] *λιτανειαις* Cant. 2.

ἀγόμενος· ἀφ' ἧς καὶ τὰ νικητήρια τοῖς ἀθληταῖς τȣ͂ βίȣ δίδονται, καὶ τῶν πολλῶν πόνων τὸ ἄκος. καὶ ὁ τȣ̀ς ἐλεεινȣ̀ς ἀνακτώμενος καὶ ἱκέτας, ὁ συνέχων τὸν κόσμον δημιȣργός.

CAP. XXXIIII. Εἰς τȣ͂το τοίνυν φησὶν ὁ Ὅμηρος δεῖν [1] τὸ ἄντρον ἀποθέσθαι πᾶν τὸ ἔξωθεν κτῆμα. γυμνωθέντα δὲ καὶ προσαίτȣ σχῆμα περιθέμενον, καὶ [2] κόψαντα τὸ σῶμα, καὶ πᾶν περίτlωμα ἀποβαλόντα, καὶ τὰς αἰσθήσεις [3] ἀποστραφέντα, βȣλεύεσθαι μετὰ τῆς Ἀθηνᾶς, καθεζόμενον σὺν αὐτῇ ὑπὸ πυθμένα ἐλαίας, ὅπως τὰ [a] ἐπίβȣλα τῆς ψυχῆς αὐτȣ͂ τέμῃ πάντα, καὶ περικόψῃ. ȣ̓ γὰρ ἀπὸ σκοπȣ͂ οἶμαι καὶ τοῖς περὶ [4] Νȣμήνιον ἐδόκει Ὀδυσσεὺς εἰκόνα φέρειν Ὁμήρῳ κατὰ τὴν Ὀδύσσειαν, τȣ͂ διὰ τῆς ἐφεξῆς γενέσεως διερχομένȣ· καὶ ȣ̔́τως ἀποκαθισταμένȣ εἰς τȣ̀ς ἔξω παντὸς κλύδωνος, καὶ θαλάσσης ἀπείρȣς.

> [5] Εἰς ὅκε τȣ̀ς ἀφίκναι, οἳ ȣ̓κ ἴσασι θάλασσαν
> Ἀνέρες· ȣ̓δ' ἔθ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδȣσι.

Πόντος δὲ καὶ θάλασσα, καὶ κλύδων, καὶ παρὰ Πλάτωνι ἡ ὑλικὴ σύστασις.

hujus vitæ ſtadio certantibus victoriæ præmium & multorum laborum ſolamen tribuit: & ipſe rerum opifex, qui mundum hunc continet, miſeros ſupplicesque refocillat.

In hoc ergo antro, inquit Homerus, deponenda eſt omnis peregrina ſarcina. Hic denudatum ac ſupplicantis habitu indutum, afflicto corpore, omnibusque ſuperfluis abjectis, ſenſus etiam ipſos averſantem, ad oleæ radicem conſidere, & conſilia cum Minerva conſerre oportet: quomodo omnia quæ animæ inſidiantur reſecet ac circumcidat. Neque enim ſine ratione, mea quidem ſententia, exiſtimavit Numenius, Ulyſſem in Odyſſea Homeri imaginem gerere ejus qui generationem ordine tranſit; atque ita demum ad illos qui omnem procellam marisque æſtum ignorant defertur:

> *Donec ad hos veniat, qui nec maris æquora norunt*
> *Diſſita, nec victum ſale permiſcere marino.*

Cæterum & apud Platonem materiæ congeries, pontus, mare, ac procellarum æſtus appellatur.

VARIÆ LECTIONES.

1 *το αντρον*] Cant. 2. *τῳ αντρῳ·* ubi „ *γρ. τὸ ἄντρον*, olim, male. BARNESIVS. 2 *κοψαντα το σωμα*] Vix dubito, quin male ſe habeat illud *κοψαντα*. Cel. Ruhnkenius legit *κολασαντα*, quod menti auctoris egregie convenit. 3 *αποςραφεντα*] v. Animadverſiones ad h. l. *a ἐπιβουλα*] Sagaciſſima eſt ejusdem Viri Cel. conjectura, *ὕπουλα* legentis. Vide quæ de hac voce in Animadverſionibus dicentur. 4 *Νουμηνιον*] per *ε*. Cant. 2. ut ſupra. 5 *Εις ὀκε*] *Odyſſ.* *λ'*. 120. BARNESIVS.

Cap. XXXV. Διατοῦτ᾽ οἶμαι καὶ τοῦ Φόρκυνος [1] ἐπωνόμασεν τὸν λιμένα.

Φόρκυνος δέ τις ἐστὶ λιμὴν [2] ἁλίοιο γέροντος.

